## HERODOTUS, HISTORIES, 2.113.1-2.115.6

113. [1] ἔλεγον δέ μοι οἱ ἱρέες ἱστορέοντι τὰ περὶ Ἑλένην γενέσθαι ὧδε.

Ἀλέξανδρον ἁρπάσαντα Ἑλένην
ἐκ Σπάρτης ἀποπλέειν
ἐς τὴν ἑωυτοῦ·
καί μιν,
ὡς ἐγένετο
ἐν τῷ Αἰγαίῳ,
ἐξῶσται ἄνεμοι ἐκβάλλουσι
ἐς τὸ Αἰγύπτιον πέλαγος,
ἐνθεῦτεν δέ,
οὐ γὰρ ἀνιεῖ
τὰ πνεύματα,
ἀπικνέεται
ἐς Αἴγυπτον
καὶ Αἰγύπτου
ἐς τὸ νῦν Κανωβικὸν καλεύμενον
στόμα τοῦ Νείλου
καὶ ἐς Ταριχείας.

[2] ἦν δὲ
ἐπὶ τῆς ἠιόνος
τὸ καὶ νῦν ἐστι
Ἡρακλέος ἱρόν,
ἐς τὸ ἢν καταφυγὼν οἰκέτης
ὅτευ ὦν ἀνθρώπων
ἐπιβάληται στίγματα ἱρά,
ἑωυτὸν διδοὺς τῷ θεῷ,
οὐκ ἔξεστι τούτου ἅψασθαι.

[3] ὁ νόμος οὗτος διατελέει
ἐὼν ὅμοιος μέχρι ἐμεῦ τῷ
ἀπ᾽ ἀρχῆς·
τοῦ ὦν δὴ Ἀλεξάνδρου
ἀπιστέαται θεράποντες
πυθόμενοι τὸν περὶ τὸ ἱρὸν ἔχοντα νόμον,
ἱκέται δὲ ἱζόμενοι τοῦ θεοῦ
κατηγόρεον τοῦ Ἀλεξάνδρου,
βουλόμενοι βλάπτειν αὐτόν,
πάντα λόγον ἐξηγεύμενοι
ὡς εἶχε
περὶ τὴν Ἑλένην
τε καὶ τὴν ἐς Μενέλεων ἀδικίην·

κατηγόρεον δὲ ταῦτα
πρός τε τοὺς ἱρέας
καὶ τὸν στόματος τούτου φύλακον,
τῷ οὔνομα ἦν Θῶνις.

114. [1] ἀκούσας δὲ τούτων
ὁ Θῶνις πέμπει τὴν ταχίστην
ἐς Μέμφιν
παρὰ Πρωτέα
ἀγγελίην λέγουσαν τάδε.

[2] «ἥκει ξεῖνος
γένος μὲν Τευκρός,
ἔργον δὲ ἀνόσιον ἐν τῇ Ἑλλάδι ἐξεργασμένος·
ξείνου γὰρ τοῦ ἑωυτοῦ ἐξαπατήσας
τὴν γυναῖκα αὐτήν
τε ταύτην ἄγων ἥκει
καὶ πολλὰ κάρτα χρήματα,
ὑπὸ ἀνέμων
ἐς γῆν ταύτην
ἀπενειχθείς.

κότερα δῆτα τοῦτον ἐῶμεν
ἀσινέα ἐκπλέειν
ἢ ἀπελώμεθα
τὰ ἔχων ἦλθε;»

[3] ἀντιπέμπει πρὸς ταῦτα
ὁ Πρωτεὺς λέγοντα τάδε.

«ἄνδρα τοῦτον, ὅστις κοτὲ ἐστὶ ἀνόσια ἐργασμένος ξεῖνον τὸν ἑωυτοῦ, συλλαβόντες ἀπάγετε παρ᾽ ἐμέ, ἵνα εἰδέω ὅ τι κοτὲ καὶ λέξει.»

115. [1] ἀκούσας δὲ ταῦτα
ὁ Θῶνις συλλαμβάνει τὸν Ἀλέξανδρον
καὶ τὰς νέας αὐτοῦ κατίσχει,
μετὰ δὲ
αὐτόν τε τοῦτον ἀνήγαγε
ἐς Μέμφιν
καὶ τὴν Ἑλένην τε καὶ τὰ χρήματα,
πρὸς δὲ καὶ τοὺς ἱκέτας.

[2] ἀνακομισθέντων δὲ πάντων,
εἰρώτα τὸν Ἀλέξανδρον ὁ Πρωτεὺς
τίς εἴη
καὶ ὁκόθεν πλέοι.

ὁ δέ οἱ

καὶ τὸ γένος κατέλεξε
καὶ τῆς πάτρης εἶπε τὸ οὔνομα,
καὶ δὴ καὶ τὸν πλόον ἀπηγήσατο
ὁκόθεν πλέοι.

[3] μετὰ δὲ
ὁ Πρωτεὺς εἰρώτα αὐτὸν
ὁκόθεν τὴν Ἑλένην λάβοι·
πλανωμένου δὲ τοῦ Ἀλεξάνδρου
ἐν τῷ λόγῳ
καὶ οὐ λέγοντος τὴν ἀληθείην,
ἤλεγχον οἱ γενόμενοι ἱκέται,
ἐξηγεύμενοι πάντα λόγον τοῦ ἀδικήματος.

[4] τέλος δὲ δή σφι
λόγον τόνδε ἐκφαίνει ὁ Πρωτεύς,
λέγων ὅτι
«ἐγὼ εἰ μὴ περὶ πολλοῦ ἡγεύμην
μηδένα ξείνων κτείνειν,
ὅσοι ὑπ᾽ ἀνέμων ἤδη ἀπολαμφθέντες
ἦλθον ἐς χώρην τὴν ἐμήν,
ἐγὼ ἄν σε ὑπὲρ τοῦ Ἕλληνος ἐτισάμην,
ὅς,
ὦ κάκιστε ἀνδρῶν,
ξεινίων τυχὼν
ἔργον ἀνοσιώτατον ἐργάσαο·
παρὰ τοῦ σεωυτοῦ ξείνου
τὴν γυναῖκα ἦλθες.

καὶ μάλα ταῦτά τοι οὐκ ἤρκεσε,
ἀλλ᾽ ἀναπτερώσας
αὐτὴν οἴχεαι ἔχων ἐκκλέψας.

[5] καὶ οὐδὲ ταῦτά τοι μοῦνα ἤρκεσε,
ἀλλὰ καὶ οἰκία τοῦ ξείνου κεραΐσας ἥκεις.

[6] νῦν ὦν ἐπειδὴ
περὶ πολλοῦ ἥγημαι
μὴ ξεινοκτονέειν,
γυναῖκα μὲν ταύτην καὶ τὰ χρήματα
οὔ τοι προήσω ἀπάγεσθαι,
ἀλλ᾽ αὐτὰ ἐγὼ
τῷ Ἕλληνι ξείνῳ φυλάξω,
ἐς ὃ ἂν αὐτὸς ἐλθὼν ἐκεῖνος
ἀπαγαγέσθαι ἐθέλῃ·
αὐτὸν δέ σε καὶ τοὺς σοὺς συμπλόους
τριῶν ἡμερέων προαγορεύω
ἐκ τῆς ἐμῆς γῆς
ἐς ἄλλην τινὰ μετορμίζεσθαι,
εἰ δὲ μή, ἅτε πολεμίους περιέψεσθαι.»